**ἄλογος / alogus**

Aristox. *rhythm.* II 20 sq. (p. 12. 20 sqq. Pearson) ὥρισται δὲ τῶν ποδῶν ἕκαστος ἤτοι λόγῳ τινὶ ἢ ἀλογίᾳ τοιαύτῃ, ἥτις δύο λόγων γνωρίμων τῇ αἰσθήσει ἀνὰ μέσον ἔσται. γένοιτο δ’ ἂν τὸ εἰρημένον ὧδε καταφανές· εἰ ληφθείησαν δύο πόδες, ὁ μὲν ἴσον τὸ ἄνω τῷ κάτω ἔχων καὶ δίσημον ἑκάτερον, ὁ δὲ τὸ μὲν κάτω δίσημον, τὸ δὲ ἄνω ἥμισυ, τρίτος δέ τις ληφθείη ποὺς παρὰ τούτους, τὴν μὲν βάσιν ἴσην αὖ τοῖς ἀμφοτέροις ἔχων, τὴν δὲ ἄρσιν μέσον μέγεθος ἔχουσαν τῶν ἄρσεων. ὁ γὰρ τοιοῦτος ποὺς ἄλογον μὲν ἕξει τὸ ἄνω πρὸς τὸ κάτω· ἔσται δ’ ἡ ἀλογία μεταξὺ δύο λόγων γνωρίμων τῇ αἰσθήσει, τοῦ τε ἴσου καὶ τοῦ διπλασίου. καλεῖται δ’ οὗτος χορεῖος ἄλογος. δεῖ δὲ μηδ’ ἐνταῦθα διαμαρτεῖν, ἀγνοηθέντος τοῦ τε ῥητοῦ καὶ τοῦ ἀλόγου, τίνα τρόπον ἐν τοῖς περὶ τοὺς ῥυθμοὺς λαμβάνεται. ὥσπερ οὖν ἐν τοῖς διαστηματικοῖς στοιχείοις ... οὕτω καὶ ἐν τοῖς ῥυθμοῖς ὑποληπτέον ἔχειν τό τε ῥητὸν καὶ τὸ ἄλογον. τὸ μὲν γὰρ κατὰ τὴν τοῦ ῥυθμοῦ φύσιν λαμβάνεται ῥητόν, τὸ δὲ κατὰ τοὺς τῶν ἀριθμῶν μόνον λόγους.

Aristox. *rhythm.* II 22 (p. 14.19 sqq. Pearson) τῶν δὲ ποδικῶν διαφορῶν ἐκκείσθωσαν αἱ ἑπτά... τρίτη δέ, καθ’ ἣν οἱ μὲν ῥητοί, οἱ δ’ ἄλογοι τῶν ποδῶν εἰσι.

Aristox. *rhythm.* II 25 (p. 16. 4 sq. Pearson) οἱ δ’ἄλογοι τῶν ῥητῶν διαφέρουσι τῷ τὸν ἄνω χρόνον πρὸς τ]ν κάτω μὴ εἶναι ῥητόν.

Aristox. ap. Psell. 16 (p. 26. 8 sqq. Pearson) γένει δὲ (scil. ποὺς ποδός διαφέρει) ὅταν οἱ λόγοι διαφέρωσιν ἀλλήλων οἱ τῶν ποδῶν. οἱ δὲ ἄλογοι τῶν ῥητῶν διαφέρουσι <τῷ> τὸν ἄνω χρόνον πρὸς τὸν κάτω μὴ εἶναι ῥητόν.

Dion. Hal. *de comp. verb.* 17 (p. 71. 10 sqq. Vsener-Radermacher) οἱ μέντοι ῥυθμικοὶ τούτου τοῦ ποδὸς (*scil.* τοῦ δακτύλου) τὴν μακρὰν βραχύτεραν εἶναί φασι τῆς τελείας, οὐκ ἔχοντες δ’ εἰπεῖν ὅσῳ, καλοῦσιν αὐτὴν ἄλογον. ἕτερός ἐστιν ἀντίστροφον ἔχων τούτῳ ῥυθμόν, ὃς ἀπὸ τῶν βραχειῶν ἀρξάμενος ἐπὶ τὴν ἄλογον τελευτᾷ· τοῦτον χωρίσαντες ἀπὸ τῶν ἀναπαίστων κυκλικὸν καλοῦσι παράδειγμα αὐτοῦ φέροντες τοιόνδε· (mel. adesp. 109 [PMG 1027] e Page)

κέχυται πόλις ὑψίπυλος κατὰ γᾶν.

Dion. Hal. *de comp. verb.* 20 (p. 93. 10 sqq. Vsener-Radermacher) ὃ δὲ μάλιστα τῶν ἄλλων θαυμάζειν ἄξιον, ῥυθμὸς οὐδεὶς τῶν μακρῶν οἳ φύσιν ἔχουσιν πίπτειν εἰς μέτρον ἡρωικόν, οὔτε σπονδεῖος οὔτε βακχεῖος ἐγκαταμέμικται τῷ στίχῳ, πλὴν ἐπὶ τῆς τελευτῆς· οἱ δ’ ἄλλοι πάντες εἰσὶ δάκτυλοι, καὶ οὗτοι παραμεμιγμένας ἔχοντες τὰς ἀλόγους, ὥστε μὴ πολὺ διαφέρειν ἐνίους τῶν τροχαίων.

Hephaest. 20. 1 sqq. τῷ δὲ δακτύλῳ τῷ κατὰ τὰς περιττὰς ἐμπίπτοντι χώρας ἥκιστα οἱ ἰαμβοποιοὶ ἐχρήσαντο ποιηταί, σπανίως δὲ καὶ οἱ τραγικοί, οἱ δὲ κωμικοὶ συνεχῶς ὥσπερ καὶ ἐν τῷ ἰαμβικῷ τῷ ἐπὶ τῆς ἀρτίου ἀναπαίστῳ· ἑκάτερον γὰρ ἄλογον· οὔτε γὰρ ἐν τῷ ἰαμβικῷ ἐχρῆν ἀνάπαιστον ἐπὶ τῆς ἀρτίου χώρας, ἐφ’ ἧς οὐδὲ σπονδεῖος ἐγχωρεῖ, οὗ λύσις ἐστὶν ὁ ἀνάπαιστος, οὔτε ἐν τῷ τροχαϊκῷ ἐπὶ τῆς περιττῆς τὸν δάκτυλον, ἐφ’ ἧς οὐδὲ σπονδεῖος ἐγχωρεῖ, οὗ ὁμοίως λύσις ὁ δάκτυλος.

Arist. Qvint. *de mus.* I 14 (p. 32. 30 sqq. Winnington-Ingram) τούτων δὴ

τῶν χρόνων οἱ μὲν ἔρρυθμοι λέγονται, οἱ δὲ ἄρρυθμοι, οἱ δὲ ῥυθμοειδεῖς … ἄρρυθμοι δὲ οἱ παντελῶς ἄτακτοι καὶ ἀλόγως συνειρόμενοι.

Arist. Qvint. *de mus.* I 14 (p. 33. 14 sqq. Winnington-Ingram) διαφοραὶ δὲ ποδῶν ἑπτά … τετάρτη ἡ τῶν ῥητῶν, ὧν μέλλομεν λόγον εἰπεῖν τῆς ἄρσεως πρὸς τὴν θέσιν, καὶ ἀλόγων, ὧν οὐκ ἔχομεν διόλου τὸν λόγον τὸν αὐτὸν τῶν χρονικῶν μερῶν εἰπεῖν πρὸς ἄλληλα.

Arist. Qvint. *de mus.* I 14 (p. 34. 15 sqq. Winnington-Ingram) ἔστι δὲ καὶ ἄλλα γένη ἅπερ ἄλογα καλεῖται, οὐχὶ τῷ μηδένα λόγον ἔχειν ἀλλὰ τῷ μηδενὶ τῶν προκειμένων λόγων οἰκείως ἔχειν, κατὰ ἀριθμοὺς δὲ μᾶλλον ἢ κατὰ εἴδη ῥυθμικὰ σῴζειν τὰς ἀναλογίας.

Arist. Qvint. *de mus.* I 17 (p. 37. 24 sqq. Winnington-Ingram) εἰσὶ δὲ καὶ ἄλογοι χορεῖοι δύο· ἰαμβοειδής, ὃς συνέστηκεν ἐκ μακρᾶς ἄρσεως καὶ δύο θέσεων καὶ τὸν μὲν ῥυθμὸν ἔοικε δακτύλῳ, τὰ δὲ τῆς λέξεως μέρη κατὰ τὸν ἀριθμὸν ἰάμβῳ· ὁ δὲ τροχαιοειδὴς ἐκ δύο ἄρσεων καὶ μακρᾶς θέσεως κατ᾽ ἀντιστροφὴν τοῦ προτέρου.

Arist. Qvint. *de mus.* I 19 (p. 40. 2 sqq. Winnington-Ingram) γίνονται δὲ μεταβολαὶ κατὰ τρόπους δώδεκα· κατ᾽ ἀγωγήν· κατὰ λόγον ποδικόν, ὅταν ἐξ ἑνὸς εἰς ἕνα μεταβαίνῃ λόγον ἢ ὅταν ἐξ ἑνὸς εἰς πλείους ἢ ὅταν ἐξ ἀσυνθέτου εἰς μικτὸν ἢ ἐκ ῥητοῦ εἰς ἄλογον ἢ ἐξ ἀλόγου εἰς ἄλογον ἢ ἐκ τῶν ἀντιθέσει διαφερόντων εἰς ἀλλήλους ἢ ἐκ μικτοῦ εἰς μικτόν.

Bacch. 94 sqq. (p. 313. 13 sqq. Jan) συμπλέκεται δὲ οὗτος ἐκ χρόνων πόσων; — τριῶν. — Ποίων τούτων χρόνων; — βραχυσυλλάβου τε καὶ μακροῦ καὶ ἀλόγου ... ἄλογος δὲ ποῖος; — ὁ τοῦ μὲν βραχέος μακρότερος, τοῦ δὲ μακροῦ ἐλάσσων ὑπάρχων. ὁπόσῳ δέ ἐστιν ἐλάσσων ἢ μείζων διὰ τὸ λόγῳ εἶναι δυσαπόδοτον, ἐξ αὐτοῦ τοῦ συμβεβηκότος ἄλογος ἐκλήθη. χρόνων δὲ συμπλοκαὶ ἐν ῥυθμοῖς πόσαι γίνονται; — τέσσαρες. συμπλέκεται γὰρ βραχὺς βραχεῖ, μακρὸς μακρῷ, μακρὸς βραχεῖ, ἄλογος μακρῷ.

Bacch. 101 (p. 315. 17 sq. Jan) πέμπτος δὲ (*scil.* τῶν ἁπλῶν ῥυθμῶν) ὄρθιος *** ἐξ ἀλόγου ἄρσεως καὶ μακρᾶς θέσεως, οἷον ὀργή.

Choerob. 238. 11 sqq. τρέπεται δὲ ὁ πρῶτος ποὺς ἔστιν ὅτε, ὥς φησιν (*scil.* ὁ Ἡφαιστίων p. 31. 16 sqq.), εἰς τὰ τέσσαρα σχήματα τοῦ δισυλλάβου, οἱονεὶ πυρρίχιον καὶ σπονδεῖον καὶ ἴαμβον καὶ τροχαῖον· καθόλου γὰρ ἄλογός ἐστιν ὁ πρῶτος ποὺς καὶ ἄτακτος. ἔστι δ᾽ ὅτε αὐτὸς ὁ πρῶτος ποὺς σπονδεῖος ὢν δυνάμει λύεται εἰς δάκτυλον, τῆς δευτέρας συλλαβῆς τοῦ σπονδείου διαλυομένης εἰς δύο βραχείας, ἢ ἐκ τοῦ ἐναντίου εἰς ἀνάπαιστον, τῆς πρώτης συλλαβῆς πάλιν διαλυομένης· ὁ δὲ τροχαῖος καὶ ὁ ἴαμβος εἰς τρίβραχυν, τῆς μακρᾶς πάλιν εἰς δύο βραχείας διαλυομένης· ὁ γὰρ πυρρίχιος ἐκ δύο βραχειῶν συγκείμενος οὐκ εἶχεν εἰς τί διαλύεσθαι.

App. Dion. 319. 1 sqq. μακὰρν δὲ καὶ βραχεῖαν τὸ ἐναντίον· ([Hom.] *Il.* XXIV 769)

δαέρων <ἢ> γαλόοων.

ὅτι δὲ τὸ ‘α’ μακρόν ἐστι, δῆλον ἐκ τοῦ· ([Hom.] *Il.* III 180)

δαὴρ αὖτ᾽ ἐμός,

([Hom.] *Il.* XIV 156)

αὐτοκασίγνητον καὶ δαέρα.

ὅτι δὲ τό· ([Hom.] *Il.* XXIV 762)

Ἕκτωρ ἐμῷ θυμῷ δαέρων

δύναται συνεστάλθαι τὸ ʻαʼ, κατὰ συνίζησιν δύναται καὶ κατὰ συστολήν, ὡς ἐπὶ τοῦ· ([Hom.] *Il.* X 299)

οὐδὲ μὲν οὐδὲ Τρῶας ἀγήνορας εἴασενʹἝκτωρ

ἄλογος συστολὴ διὰ τὸ μέτρον· ὡς καὶ ἄλογος ἔκτασις ἐν τῷ· ([Hom.] *Il.* IV 155)

φίλε κασίγνητε,

καί· ([Hom.] *Il.* VI 112)

ἀνέρες ἐστὲ φίλοι.

ἐκτέτεται γὰρ καὶ συνέσταλται· ([Hom.] *Il.* XIV 376)

ὃς δὲ κʼ ἀνὴρ μενέχαρμος,

καί· ([Hom.] *Il.* V 31)

Ἆρες Ἆρες βροτολοιγέ.

Mart. Cap. IX 975 (p. 375. 8 sqq. Willis) et simplices quidem (*scil.* pedes) dicuntur, qui temporibus dividuntur, compositi autem qui in pedes etiam resolvuntur *** alios vero alogos, hoc est irrationabiles, nominamus, quorum[que] ratio nulla praestatur, sed incondita quaedam compositio profertur.

Mart. Cap. IX 992 (p. 383. 8 sqq. Willis) sunt sane (*scil.* numeri), qui etiam irrationabiles esse dicuntur, quos alogos vocitamus; quos etiam chorios appellare consuevimus. sunt autem numero duo, quorum alter diiambi figuram respicit et constat ex elatione, quae longa est, et duabus positionibus; et rhythmo quidem est ad dactylicum similis, partibus vero ad numerum iambico iungitur, et <iamboides dicitur quasi genus> iambi vicinum. alius vero est numerus, qui trochaeides nominatur, id est qui figuram quandam speciemque trochaei habere videtur, ex elationibus geminis et longa positione consistens per contrarium prioris effectus. [*S.D.B.*]